ἀνόμων ἐν τοῖς Ψαλμοῖς· „Ἐν πόνοις ἀνθρώπων οὐκ εἰσί· μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται“· καὶ ἐν τῷ Ἰώβ· „Οἱ ἀσεβεῖς ζῶσιν, ἐπήρθησαν, ἴσχυσάν τε πλούτῳ“· καὶ ἐν τῷ πρώτῳ τοῦ Ἀββακούκ· „Διατὶ ἐπιβλέπεις ἐπὶ τοὺς καταφρονητάς, καὶ σιωπᾷς, καταπατοῦντος τοῦ ἀσεβοῦς τὸν δικαιότερον ἑαυτοῦ;“

Πρὸς μὲν οὖν τὸ πρῶτον δεῖ λέγειν, ὅτι ἀποτελέσματά εἰσι τῆς προγονικῆς ἁμαρτίας αἱ τῶν ἄρτι γεννητῶν ἀσθένειαι· μένουσι δὲ καὶ μετὰ τὸ βάπτισμα διὰ τὴν εἰρημένην ἀνωτέρω αἰτίαν· τὸ δὲ μὴ ἐπίσης ἐν πᾶσιν εἶναι συμβαίνει διὰ τὴν τῆς φύσεως διαφορὰν ἑαυτῇ ἀφειμένης, ὡς εἴρηται. Τάττονται δὲ ταῦτα κατὰ τὴν θείαν πρόνοιαν καὶ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἢ αὐτῶν τῶν πασχόντων, ἢ ἄλλων, τῶν ταῖς τιμωρίαις τούτων νουθετουμένων, ἀλλὰ δὴ καὶ πρὸς δόξαν Θεοῦ.

Πρὸς τὸ δεύτερον, ὅτι τῇ θείᾳ δικαιοσύνῃ οἰκεῖόν ἐστι διδόναι τοῖς ἐναρέτοις τὰ πνευματικὰ ἀγαθά, ἃ μεγάλα εἰσὶν ἀγαθά, τῶν δὲ προσκαίρων τοσοῦτον ὅσον ἀρκεῖ πρὸς τὴν ἀρετήν, τοῦ Διονυσίου λέγοντος, ὅτι τῆς θείας δικαιοσύνης ἐστὶ μὴ μαλλάττειν τὴν τῶν ἀρίστων ἰσχὺν ταῖς τῶν ὑλικῶν δωρεαῖς, ἑτέροις δὲ τὸ δίδοσθαι αὐτοῖς τὰ πρόσκαιρα εἰς κακὸν τῶν πνευματικῶν ἀποβαίνει· ὅθεν συμπεραίνεται ἐν τοῖς Ψαλμοῖς· „Διὰ τοῦτο | ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος“. f. 148

8. Ὄγδοον, ὅτι ἕτερος ὑπὲρ τῆς ἑτέρου ἁμαρτίας οὐ κολάζεται. Λέγεται γὰρ ἐν δεκάτῳ ὀγδόῳ τοῦ Ἰεζεκιήλ· „Υἱὸς οὐ βαστάσει τὴν ἀνομίαν τοῦ πατρός, οὐδὲ δοῦλος δηλονότι τοῦ δεσπότου“, ὅσον κατὰ ψυχήν· κατὰ γὰρ τὴν ψυχὴν ὁ υἱὸς οὐκ ἔστι τοῦ πατρὸς κτῆμα· διὸ καὶ ὁ Κύριος ἐν τῷ αὐτῷ μέρει τοῦ Ἰεζεκιὴλ τὴν αἰτίαν ἀποδιδούς, φησί· „Πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν“. Ὅσον δὲ κατὰ τὸ σῶμα, τὴν μὲν ἱκανοποιητικὴν δίκην ἄλλος ἄλλου ἑκουσίως ἀναλαμβάνομεν, καθόσον ἓν ἐσμεν τρόπον τινά· τὴν δὲ κολαστικὴν ἕκαστος ὑπὲρ ἑαυτοῦ μόνου δίδωσιν· τὴν δὲ ἰατρευτικὴν καὶ Θεῷ καὶ ἀνθρώποις δίδωσι δίκην καὶ υἱὸς ὑπὲρ πατρός, καὶ δοῦλος ὑπὲρ δεσπότου, καθόσον οὗτοι κτήματα ἐκείνων εἰσίν, εἰ μὴ εἶεν τῆς ἁμαρτίας ἐκείνων κοινωνοί· τάττεται γὰρ ἡ δίκη πρὸς τὸ ψυχικὸν αὐτῶν ἀγαθόν, εἰ μακροθύμως ὑπομένειεν· εἰ δὲ κοινωνοὶ εἶεν, καὶ αὐτοῖς λόγον κολάσεως ἡ δίκη ἔχει, τοὐλάχιστον συντιθεμένοις τῷ ἁμαρτήματι.

## LXXXVIII. — Περὶ τῆς πρὸς ἄλληλα παραθέσεως τοῦ θανασίμου καὶ συγγνωστοῦ ἁμαρτήματος.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὸ συγγνωστὸν ἁμάρτημα δεόντως ἀντιδιαιρεῖται τῷ θανασίμῳ· ἀντίκεινται γὰρ τῇ μὲν λέξει μεταφορι-

1 Ps. 72, 5  2 Iob, 21, 7  3 Habac. 1, 13  18 Ps. 72, 6  21 Ezech. 18, 20  24 Ezech. 18, 4  34 Autre titre à la marge supérieure de A: *ὅπως ἔχει τὸ συγγνωστὸν ἁμάρτημα πρὸς τὸ θανάσιμον*

Εργ. Ζήτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κῶς· τὸ γὰρ θανάσιμον κυρίως εἰς τὸν σωματικὸν ἀνάγεται θάνατον· τῇ δὲ ἐννοίᾳ, ὁμολογουμένως. Ἐπεὶ γὰρ ἡ ἁμαρτία ἀσθένειά ἐστι τῆς ψυχῆς, λέγεταί τι θανάσιμον καθ' ὃ ἐπάγει στέρησιν, τῆς ἀρχῆς ἀνῃρημένης, ἀδιόρθωτον· ἀρχὴ δὲ τῆς πνευματικῆς ἐναρέτου ζωῆς ἡ πρὸς τὸ ἔσχατον τέλος τάξις ἐστίν, ἥτις εἰ ἀναιρεθείη, οὐ δύναται διά τινος ἔνδον ἀρχῆς ἐπιδιορθωθῆναι, ἀλλὰ μόνον θείᾳ δυνάμει· αἱ γὰρ τῶν πρὸς τὸ τέλος ἀταξίαι ἐκ τοῦ τέλους δέχονται τὴν διόρθωσιν, ὡς ἡ περὶ τὰ συμπεράσματα πλάνη ἐκ τῆς τῶν ἀρχῶν ἀληθείας· ἡ δὲ περὶ τὴν τάξιν τοῦ ἐσχάτου τέλους στέρησις οὐ δύναται διά τινος ἀρχοειδεστέρου διορθωθῆναι, ὥσπερ οὐδὲ ἡ περὶ τὰς ἀρχὰς πλάνη, καὶ διὰ τοῦτο τὰ τοιαῦτα ἁμαρτήματα θανάσιμα λέγονται, ὡς ἂν ἀδιόρθωτα· τὰ δὲ ἔχοντα ἐν τοῖς πρὸς τὸ τέλος
f. 148v τὴν ἀταξίαν διόρθωσιν δεχόμενα, σῳζομένης | τῆς πρὸς τὸ ἔσχατον τέλος τάξεως, συγγνωστά. Τότε γὰρ συγγνώμη δίδοται τῷ ἁμαρτωλῷ, ὅταν ἡ τῆς τιμωρίας ἐνοχὴ ἀναιρεθῇ, ἢ παύηται, παυσαμένης τῆς ἁμαρτίας, ὡς εἴρηται. Κατὰ τοῦτο τοίνυν τὸ θανάσιμον ἀντίκειται τῷ συγγνωστῷ ὡς τὸ διορθωτὸν καὶ ἀδιόρθωτον· τοῦτο δέ φημι διά τινος ἀρχῆς ἔνδον, οὐ μὴν τῇ πρὸς τὴν θείαν δύναμιν παραθέσει, ἣ πᾶσαν νόσον, καὶ σωματικὴν καὶ πνευματικήν, δύναται διορθώσασθαι.

2. Δεύτερον, ὅτι τὸ συγγνωστὸν καὶ τὸ θανάσιμον ἁμάρτημα διαφέρουσι γένει.

3. Τρίτον, ὅτι τὸ συγγνωστὸν διάθεσίς τις ἐστὶ πρὸς τὸ θανάσιμον. Λέγεται γὰρ ἐν ὀγδόῳ τοῦ Ἐκκλησιαστοῦ· „Ὁ τῶν ἐλαχίστων καταφρονῶν κατὰ μικρὸν παραρρεῖ". Εἰ δὲ καὶ θάτερον τῶν ἀντικειμένων οὐ διατίθησι πρὸς τὸ ἀντικείμενον, ἀλλ' οὐκ ἀντικειμένως ταῦτα διαιροῦνται ὡς δύο εἴδη ἑνὸς γένους, ἀλλ' ὡς τὸ συμβεβηκὸς καὶ ἡ οὐσία· τὸ δὲ συμβεβηκὸς δύναται εἶναι διάθεσις πρὸς τὸ οὐσιῶδες εἶδος· οὕτω καὶ τὸ συγγνωστὸν πρὸς τὸ θανάσιμον.

4. Τέταρτον, ὅτι τὸ συγγνωστὸν οὐ δύναται γενέσθαι θανάσιμον· ἐπ' ἄπειρον γὰρ διαφέροντα πῶς μεταβαλεῖ εἰς ἄλληλα; Πολλὰ μέντοι συγγνωστὰ ἁμαρτήματα ποιοῦσιν ἓν θανάσιμον κατὰ διάθεσιν.

5. Πέμπτον, ὅτι ἡ περίστασις οὐ ποιεῖ ἀπὸ συγγνωστοῦ θανάσιμον· ἀεὶ γὰρ ἡ ἐνέργεια ἐκ τοῦ ἑαυτῆς γένους συγγνωστὴ οὖσα ὑπερβάλλει περίστασιν συμβεβηκότος, οὖσαν ποσότητα. Ἔνια δὲ τῶν ἁμαρτημάτων κατὰ τὸ ἀποτέλεσμα γίνονται συγγνωστὰ ἢ θανάσιμα, οἷον ἡ ὀργή, κατὰ τὸ μέτρον τῆς βλάβης τοῦ πλησίον. Εἰ μὲν γὰρ ἡ βλάβη φόνος ἢ κλοπὴ εἴη, ἤ τι τοιοῦτον, θανάσιμος ἡ ὀργή, εἰ καὶ αὕτη δύναται διὰ τὸ τῆς ἐνεργείας ἀτελὲς συγγνωστὴ εἶναι, ὡς ἀθρόα κίνησις τοῦ αἰσθητικοῦ μέρους. Εἰ δὲ ἡ βλάβη λόγος τις εἴη ληπῆσαι μετρίως δυνάμενος, ἔστι

22 Eccli. 19, 1

Ε.Υ.Δ της Π.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

συγγνωστὴ ἡ ὀργή, εἰ μὴ εἴη μόνιμος καὶ εἰ μὴ ἐκ τούτου σκάνδαλον ἀναφύοιτο. Ἔνια δὲ τῶν ἁμαρτημάτων κατὰ τὸν ἑαυτῶν λόγον εἰσὶ θανάσιμα, ὡς ἡ μέθη, κἂν μὴ δοκῇ· τὸ γὰρ ἄνευ τινὸς ἀνάγκης τοιοῦτον ἑαυτὸν ἀποδεικνύναι τινὰ ὥστ' ἀδύνατον | εἶναι χρῆσθαι τῷ λόγῳ, δι' οὗ f. 149 πρὸς Θεὸν ὁ ἄνθρωπος τάττεται καὶ πολλὰ τῶν ἁμαρτημάτων ἐπιόντα φυλάττεται, διὰ τὴν ἐν τῷ οἴνῳ ἡδονὴν διαρρήδην τῇ ἀρετῇ ἐστιν ἐναντίον· τὸ δὲ εἶναι συγγνωστὴν τὴν μέθην διά τινα ἄγνοιαν ἢ ἀσθένειαν συμβαίνει, οἷον εἴ τις τὴν τοῦ οἴνου δύναμιν ἀγνοοῖ, ἢ τὴν ἰδίαν χαυνότητα· συνεχῶς δὲ μεθύων οὐ δύναται ἀπολογίαν ἔχειν τὴν ἄγνοιαν.

Ἕκτον, ὅτι τὸ θανάσιμον οὐδέποτε γίνεται συγγνωστόν, εἴπερ μηδὲ τὸ αἰώνιον δύναται πρόσκαιρον γίνεσθαι. Εἰ δὲ τὸ συγγνωστὸν γίνεταί ποτε θανάσιμον, οὐδὲν θαυμαστόν· τὸ γὰρ συγγνωστὸν τοῦ θανασίμου διαφέρει ὡς τὸ ἀτελὲς τοῦ τελείου, ὥσπερ ὁ παῖς, τοῦ ἀνδρός· δῆλον οὖν ὅτι ἐκ παιδὸς ἀνὴρ γίνεται, καὶ οὐ τὸ ἀνάπαλιν.

## LXXXIX. — Περὶ τοῦ συγγνωστοῦ ἁμαρτήματος καθ' αὑτό.

1. Περὶ δ πρῶτον δείκνυται, ὅτι τὸ συγγνωστὸν ἁμάρτημα οὐκ ἔστιν αἴτιον ῥύπου ἐν τῇ ψυχῇ· τοῦτο γὰρ ἴδιον τοῦ θανασίμου τὸ ῥύπον ἐν τῇ ψυχῇ ποιεῖν· θανάσιμον δὲ καὶ συγγνωστὸν γένει διακρίνονται, ὡς προείρηται.

3. Δεύτερον, ὅτι ὁ ἄνθρωπος ἐν τῇ τῆς ἀπαθείας καταστάσει οὐκ ἂν ἠδύνατο συγγνωστῶς ἁμαρτεῖν· ἑκάστῳ γὰρ ἁμαρτήματι ὀφείλεταί τις δίκη· οὐδὲν δὲ ἐπαχθὲς ἠδύνατο εἶναι ἐν τῇ τῆς ἀπαθείας καταστάσει, ὥς φησιν Αὐγουστῖνος.

Ἔτι, οὐκ ἂν ἠδύνατο περιπεσεῖν ἁμαρτίᾳ τινί, δι' ἧς οὐκ ἂν ἐξέπεσε τῆς ἀκεραιότητος ἐκείνης· τὸ δὲ συγγνωστὸν ἁμάρτημα οὐκ ἐξαλλάττει τὴν τοῦ ἀνθρώπου κατάστασιν.

4. Τρίτον, ὅτι οὐδὲ ὁ ἄγγελος δύναται συγγνωστῶς ἁμαρτάνειν· ἡ γὰρ τοῦ ἀγγέλου τελειότης μείζων ἐστὶν ἢ ἡ τοῦ ἀνθρώπου ἐν τῇ πρώτῃ καταστάσει· εἰ γοῦν ὁ ἄνθρωπος οὐκ ἂν ἠδύνατο συγγνωστῶς ἁμαρτάνειν, πολλῷ ἧττον ὁ ἄγγελος.

Ἔτι, ὁ ἄγγελος οὕτω νοεῖ τὰ συμπεράσματα καθόσον εἰσὶν ἐν ταῖς ἀρχαῖς οὐ κατὰ τὸν μεταβατικὸν ἡμῶν τρόπον. Εἰσὶ δὲ ἐν τοῖς ὀρεκτοῖς τὰ τέλη ὡς ἀρχαί, τὰ δὲ πρὸς τὸ τέλος οἷον συμπεράσματα· ὅθεν ὁ τοῦ ἀγγέλου νοῦς οὐ φέρεται ἐπ' ἐκεῖνα ὥσπερ εἰς τέλος, εἰ μὴ καθ' ὃ εἰσιν ὑπὸ τὴν τάξιν τοῦ τέλους· ὅθεν κατὰ φύσιν αὐτοῖς ἐστι | τὸ μὴ δύνασθαι f. 149v εἶναι ἐν αὐτοῖς ἀταξίαν περὶ τὰ πρὸς τὸ τέλος, εἰ μὴ καὶ περὶ τὸ τέλος ἐστὶν ἡ αὐτὴ ἀταξία, ὅ ἐστι τὸ θανάσιμον ἁμάρτημα. Οἱ μὲν οὖν ἀγαθοὶ ἄγγελοι οὐ κινοῦνται ἐπὶ τὰ πρὸς τὸ τέλος εἰ μὴ ἐν τῇ πρὸς τὸ ὀφειλόμενον τέλος τάξει, ὅπερ ἐστὶν ὁ Θεός, καὶ διὰ τοῦτο πᾶσαι αἱ τούτων

ἐνέργειαι ἀγάπης εἰσὶν ἐνέργειαι, καὶ οὕτως ἐν αὐτοῖς ἀδύνατον εἶναι ἁμάρτημα συγγνωστόν. Οἱ δὲ πονηροὶ εἰς οὐδὲν κινοῦνται εἰ μὴ ἔν τινι τάξει τῇ πρὸς τὸ τέλος αὐτῶν, τουτέστι τοῦ ἁμαρτήματος τῆς ὑπερηφανίας, καὶ διὰ τοῦτο ἐν πᾶσι θανασίμως ἁμαρτάνουσιν.

5. Τέταρτον, ὅτι αἱ πρῶται κινήσεις τοῦ αἰσθητικοῦ μέρους ἐν τοῖς ἀπίστοις οὐκ εἰσὶ θανάσιμα ἁμαρτήματα· Ἐν γὰρ τῷ δεκάτῳ τῶν Πράξεων· „Οὐκ ἔστι προσωπολῆψις παρὰ τῷ Θεῷ". Ὃ ἄρα οὐ λογίζεται ὁ Θεὸς ἑνὶ εἰς κρίσιν, οὐδ' ἄλλῳ· ἀλλὰ τὰς πρώτας κινήσεις οὐ λογίζεται εἰς κατάκρισιν τοῖς πιστοῖς· οὐδ' ἄρα τοῖς ἀπίστοις.

6. Ἰστέον ὅτι τὸ συγγνωστὸν ἁμάρτημα οὐκ ἔστι διάθεσις ἐξ ἀνάγκης προηγουμένη τοῦ θανασίμου, ἀλλ' ἐνδεχομένως, ὥσπερ ὁ πόνος διατίθησι πολλάκις πρὸς τὸν πυρετόν, οὐ μὴν ὡς ἡ θέρμη διατίθησι πρὸς τὸ τοῦ πυρὸς εἶδος.

## De la loi.

### XC. — Περὶ νόμου καθόλου, καὶ πρῶτον περὶ τῆς οὐσίας αὐτοῦ.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ὁ νόμος τοῦ λόγου ἐστίν. Τοῦ γὰρ νόμου ἐστὶ προστάττειν, κωλύειν· τὸ δὲ προστάττειν τοῦ λόγου ἐστίν, ὡς προείρηται, ὥστε καὶ ὁ νόμος τι τοῦ λόγου ἐστίν, εἰ δὴ καὶ ὁ νόμος κανών ἐστιν ἢ μέτρον τῶν πράξεων· νέμει γὰρ καὶ διαιρεῖ ὅσον δεῖ τοὺς ἀνθρώπους πράττειν ὀρθῶς πράξοντας· ταῦτα δέ ἐστι καὶ ὁ λόγος, ὅς ἐστι πρώτη ἀρχὴ τῶν ἀνθρωπίνων ἐνεργειῶν διὰ τὸ αὐτὸν μὲν τάττειν πρὸς τὸ τέλος, ὃ πρώτη ἀρχὴ ἐν τοῖς πρακτοῖς· ἐν ἑκάστῳ δὲ γένει τὴν ἀρχὴν μέτρον εἶναι καὶ κανόνα τοῦ γένους, ὡς ἡ μονὰς ἐν τῷ τοῦ ἀριθμοῦ γένει, καὶ ἡ πρώτη κίνησις ἐν ταῖς κινήσεσιν, καὶ διὰ τοῦτο ὁ νόμος εἰς τὸν λόγον ἀνήκει. Ἔστι δὲ ὁ νόμος ἐν τῷ λόγῳ ὡς ἐν τῷ μετροῦντι καὶ κανόνι ζῶντι, εἰ καὶ ἄλλον τρόπον καὶ ἐν τοῖς κανονιζομένοις μεθεκτῶς, οὐκ οὐσιωδῶς.

f. 150 2. Δεύτερον, ὅτι ὁ νόμος ἀεὶ τέτακται ὥσπερ εἰς τέλος [εἰς] τὸ κοινὸν ἀγαθόν. Εἰ γὰρ καὶ προστάγματά τινα τάττονται πρὸς τὸ μερικὸν ἀγαθόν, τοῦ νόμου δέ ἐστι τὸ προστάττειν καὶ κωλύειν, ἀλλὰ τὸ πρόσταγμα νόμου προσαγωγὴν σημαίνει πρὸς τὰ ὑπὸ τοῦ νόμου κανονιζόμενα· ἡ δὲ πρὸς τὸ κοινὸν ἀγαθὸν τάξις δύναται προσάγεσθαι πρὸς τὰ μερικὰ τέλη, καὶ κατὰ τοῦτο καὶ περὶ μερικῶν τινων δίδονται προστάγματα.

3. Τρίτον, ὅτι οὐ παντὸς ἀνθρώπου λόγος ποιητικός ἐστι νόμου. Ὁ γὰρ νόμος κυρίως καὶ πρώτως καὶ ἀρχοειδῶς εἰς τὴν τοῦ κοινοῦ ἀγαθοῦ τάξιν ὁρᾷ· τὸ δὲ τάττειν τι εἰς τὸ κοινὸν ἀγαθὸν ἢ ὅλου ἐστὶ τοῦ πλή-

---

7 Act. 10, 34 16 *ὁ Θεὸς ἐκδιδάσκει νόμῳ καὶ χάριτι βοηθεῖ* add A

Ε.Ρ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

θους, ἢ τινος τοῦ τὴν τοῦ πλήθους ὅλου δύναμιν ἀναδεδειγμένον, καὶ διὰ τοῦτο συντιθέναι νόμον ἢ ὅλου τοῦ πλήθους ἐστίν, ἢ δημοσίου τινὸς προσώπου, ὃ τὴν ὅλου τοῦ πλήθους ἔχει φροντίδα, ἐπεὶ καὶ ἐν πᾶσι τοῖς ἄλλοις τὸ εἰς τὸ τέλος τάττειν ἐκείνου ἐστίν, οὗ ἐστι καὶ τὸ τέλος ἐκεῖνο.

4. Τέταρτον, ὅτι ἡ διαγγελία ἐν τῷ τοῦ νόμου λόγῳ ἐστίν· κυροῦνται γὰρ οἱ νόμοι διαγγελθέντες· ἡ δὲ τοῦ φυσικοῦ νόμου διαγγελία ἐστὶν ἐν τῷ τὸν Θεὸν αὐτὸν ταῖς τῶν ἀνθρώπων διανοίαις ἐγκεντρίσαι φυσικῶς γινωσκομένην.

## XCI. — Περὶ τῆς τῶν νόμων διαφορᾶς.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἔστι τις νόμος αἰώνιος. Οὐδὲν γὰρ ἕτερόν ἐστιν ὁ νόμος ἢ διάταξίς τις τοῦ πρακτικοῦ λόγου ἐν τῷ ἄρχοντι, ὃς κυβερνᾷ τινα τελείαν κοινότητα· ὑποκειμένου δὲ τοῦ τὸν κόσμον θείᾳ διοικεῖσθαι προνοίᾳ, φανερόν ἐστιν, ὅτι ὅλη ἡ τοῦ παντὸς κοινότης κυβερνᾶται τῷ θείῳ λόγῳ, καὶ διὰ τοῦτο αὐτὸς ὁ ἐν τῷ Θεῷ Λόγος, τῆς κυβερνήσεως τῶν πραγμάτων ὥσπερ ἔν τινι ἄρχοντι τοῦ παντὸς ὤν, νόμου λόγον ἔχει· καὶ ἐπεὶ ὁ θεῖος Λόγος οὐδὲν ἀπὸ χρόνου νοεῖ, ἀλλ' ἀΐδιον ἔχει τὴν νόησιν, ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῶν Παροιμιῶν, ἐντεῦθεν ἀνάγκη καὶ τὸν τοιοῦτον νόμον ἀΐδιον λέγεσθαι. Εἰ δὲ οἷός ἐστιν οὗτος ὁ νόμος, τὰ | ὄντα δηλονότι οὐκ εἰσὶν ἐξ ἀϊδίου, ἀλλ' ἐν ἑαυτοῖς μὲν εἰσίν, ἐν τῷ f. 150v
Θεῷ δὲ ὑφίστανται καθόσον προέγνωσται καὶ προδιατέτακται ὑπ' αὐτοῦ, κατὰ τὸ τέταρτον τῆς πρὸς Ῥωμαίους· „Ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα", καὶ οὕτως ἡ ἀΐδιος τοῦ θείου νόμου νόησις λόγον ἔχει ἀϊδίου νόμου· τάττεται δὲ ὑπὸ τοῦ Θεοῦ πρὸς διοίκησιν τῶν ὑπ' αὐτοῦ προεγνωσμένων πραγμάτων.

2. Δεύτερον, ὅτι ἔστι τις ἐν ἡμῖν φυσικὸς νόμος. Φησὶ γὰρ ὁ Παῦλος ἐν δευτέρῳ τῆς πρὸς Ῥωμαίους· „Ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιεῖ", ἑκάστου νοοῦντος καὶ συνειδότος ἑαυτῷ τί ἐστι τὸ ἀγαθὸν καὶ τί τὸ κακόν· ἔστι δὲ ὁ φυσικὸς μετοχή τις τοῦ ἀϊδίου.

3. Τρίτον, ὅτι ἔστι τις νόμος ἀνθρώπινος.

4. Τέταρτον, ὅτι ἀναγκαῖον ἦν εἶναί τινα ἄλλον νόμον θεῖον διὰ δύο αἰτίας· πρῶτον, ὅτι ὁ ἄνθρωπος τάττεται πρὸς τὸ τέλος τῆς ἀϊδίου μακαριότητος, ὃ τὴν ἀναλογίαν τῆς ἀνθρωπίνης δυνάμεως ὑπερβαίνει, καὶ διὰ τοῦτο ὑπὲρ τὸν φυσικὸν καὶ τὸν ἀνθρώπινον νόμον ἰθύνεσθαι τὸν ἄνθρωπον ἐχρῆν εἰς ἐκεῖνο τὸ τέλος καὶ νόμῳ θεόθεν τεθέντι· δεύτερον, ὅτι διὰ τὸ ἀβέβαιον τῆς ἀνθρωπίνης κρίσεως, μάλιστα τῆς περὶ τὰ ἐνδεχόμενα καὶ μερικά, συμβαίνει περὶ τῶν ἀνθρωπίνων πράξεων διαφόρους εἶναι καὶ τὰς κρίσεις, ἐξ ὧν διάφοροι καὶ ἐναντίοι νόμοι προΐασιν· ἵνα τοίνυν

---

8 *γινωσκομένην* sic A   22 Rom. 4, 17   27 Rom. 2, 14

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ ἄνθρωπος ἄνευ πάσης ἀμφιβολίας δύναιτο γινώσκειν τί δεῖ πράττειν καὶ τί φυλλάττεσθαι, ἀναγκαῖον ἐν ταῖς ἰδίαις ἐνεργείαις ἄγεσθαι νόμῳ θεόθεν δοθέντι, ὃν φανερὸν ὡς ἀδύνατον πλανηθῆναι· τρίτον, ὅτι περὶ ἐκείνων ὁ ἄνθρωπος δύναται νομοθετεῖν, περὶ ὧν δύναται καὶ κρίνειν· τὴν δὲ τοῦ ἀνθρώπου διάκρισιν ἀδύνατον εἶναι περὶ τῶν ἔνδον κινήσεων ὡς καὶ λανθανουσῶν, ἀλλὰ μόνον περὶ τῶν ἔξωθεν καὶ φαινομένων· καὶ ὅμως πρὸς τὴν τῆς ἀρετῆς τελειότητα ζητεῖται τὸ ἐν ἀμφοτέραις ταῖς ἐνεργείαις ὀρθὸν τὸν ἄνθρωπον εἶναι· καὶ διὰ τοῦτο ὁ ἀνθρώπινος νόμος οὐκ ἂν ἠδύνατο ἐπέχειν καὶ τάττειν ἱκανῶς τὰς ἔνδον ἐνεργείας, ἀλλ' ἦν ἀναγκαῖον καὶ τὸν θεῖον νόμον εἰς τοῦτο προστεθῆναι· τέταρτον, ὅτι ὁ ἀνθρώπινος νόμος οὐ δύναται πάντα τὰ κακῶς γινόμενα τιμωρεῖσθαι, ἢ κω-
f. 151 λύειν· εἰ γὰρ βούλοιτο πάντα | ἀνελεῖν τὰ κακά, ἕψεται καὶ πολλὰ τῶν ἀγαθῶν συνανελεῖν καὶ κωλῦσαι τὴν ὠφέλειαν τοῦ κοινοῦ ἀγαθοῦ, ὅπερ ἐστὶν ἀναγκαῖον πρὸς τὴν ἀνθρωπίνην κοινωνίαν. Ἵνα τοίνυν μηδὲν κακὸν ἀτιμώρητον καταλείπηται, ἀναγκαῖον ἦν ἐπελθεῖν τὸν θεῖον νόμον, δι' οὗ πάντα ἂν ἐκωλύθη τὰ κακά. Καὶ τούτων τῶν τεσσάρων αἰτίων ἅπτεται ὁ ψαλμῳδὸς λέγων· „Ὁ νόμος Κυρίου ἁγνός, τουτέστι μηδὲν ἁμαρτήματος αἶσχος εἶναι συγχωρῶν· ἐπιστρέφων ψυχάς, ὡς οὐ μόνον τὰς ἔξωθεν ἐνεργείας, ἀλλὰ καὶ τὰς ἔνδον ἰθύνων· ἡ μαρτυρία Κυρίου πιστή, διὰ τὸ βέβαιον τῆς ἀληθείας καὶ τῆς ὀρθότητος· σοφίζουσα νήπια, καθόσον τάττει τὸν ἄνθρωπον πρὸς τὸ θεῖον καὶ ὑπερφυὲς τέλος.

5. Πέμπτον, ὅτι ὁ θεῖος νόμος διττός ἐστιν, οὐχ ὡς εἴδει διάφοροι ἀλλ' ὡς τὸ τέλειον καὶ ἀτελὲς ἐν τῷ αὐτῷ εἴδει, ὥσπερ ὁ παῖς καὶ ὁ ἀνήρ. Οὕτω γὰρ ὁ Ἀπόστολος τὸν μὲν παλαιὸν νόμον παραβάλλει καταστάσει νέου παιδὸς ὄντος ὑπὸ παιδαγωγόν, τὸν δὲ νέον ἀνδρὸς τελείου. Ἑκατέρου δὲ νόμου τὸ τέλειον καὶ τὸ ἀτελὲς ἐν τρισὶ καταλαμβάνεται, ἅ εἰσιν ἴδια τοῦ νόμου. Πρῶτον γὰρ τοῦ νόμου ἐστὶ τὸ τάττεσθαι πρὸς τὸ κοινὸν ἀγαθὸν τό τε αἰσθητὸν καὶ γήϊνον, πρὸς ὃ ὁ παλαιὸς νόμος ἐστίν· καὶ δῆλον ὡς εὐθὺς ἐν τρίτῳ τῆς Ἐξόδου, ἐν τῇ ἀρχῇ τοῦ νόμου, καλεῖται ὁ λαὸς πρὸς βασιλείαν γηΐνην τῶν Χαναναίων· καὶ τὸ οὐράνιον καὶ νοητόν, πρὸς ὃ νέος νόμος τάττει, ὡς ὁ ἡμέτερος Δεσπότης εὐθὺς ἐν ἀρχῇ· „Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν". Δεύτερον, τοῦ νόμου ἐστὶν ἰθύνειν τὰς ἀνθρωπίνας ἐνεργείας κατὰ τὴν τῆς δικαιοσύνης τάξιν, ἐν ᾧ καὶ πλεονεκτεῖ ὁ καινὸς νόμος τὸν παλαιόν, τάττων τὰς ἔνδον τῆς ψυχῆς ἐνεργείας, ὡς ἐν πέμπτῳ τοῦ Ματθαίου. „Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν". Καὶ διὰ τοῦτο λέγεται τὸν μὲν παλαιὸν νόμον κωλύειν τὴν χεῖρα, τὸν δὲ νέον τὴν ψυχήν. Τρίτον, τοῦ νόμου ἐστὶ

32 Matth. 4, 17 35 Matth. 5, 20

ΙΩΑΝΝΙΝΑ 2006

τὸ ἐνάγειν πρὸς τὴν τῆς ἐντολῆς τήρησιν καὶ τοῦτο | ὁ μὲν παλαιὸς νόμος f. 151v ἐποίει τῷ τῶν κολάσεων φόβῳ· ὁ δὲ νέος τοῦτο ποιεῖ τῇ ἀγάπῃ, ἥτις ἐν ταῖς καρδίαις ἡμῶν ἐκκέχυται διὰ τῆς τοῦ Χριστοῦ χάριτος, τῆς ἐν τῷ καινῷ νόμῳ διδομένης. Ἐν δὲ τῷ παλαιῷ νόμῳ διετυποῦτο, καὶ διὰ τοῦτο φησὶν Αὐγουστῖνος κατὰ τοῦ Ἀδαμαντίου μαθητοῦ τοῦ Μανιχαίου· „Σύντομος διαφορὰ τοῦ νόμου καὶ τοῦ εὐαγγελίου ἐστὶν φόβος καὶ ἀγάπη".

Ἕκτον, ὅτι ἐστὶ καὶ νόμος ἁμαρτίας, τοῦ Ἀποστόλου ἐν ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους λέγοντος· „Βλέπω ἄλλον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου". Οὐκ ἔστι δὲ καθ' αὑτόν, καθόσον κινεῖ εἰς τὸ κακόν, νόμος, ἀλλὰ καθόσον ἕπεται ἐκ τῆς δικαιοσύνης τοῦ θείου νόμου, ὥσπερ ἂν εἰ ἐλέγετο νόμος εἶναι τό τινα τῶν εὐγενῶν διὰ τὸ ἑαυτοῦ πταῖσμα εἰς δουλικὰς πράξεις καταδικάζεσθαι.

## XCII. — Περὶ τῶν ἀποτελεσμάτων τοῦ νόμου.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι νόμου ἀποτέλεσμά ἐστι ποιεῖν τοὺς ἀνθρώπους ἀγαθούς, τοῦ Φιλοσόφου λέγοντος ἐν δευτέρῳ τῶν ἠθικῶν· „Ὁ σκοπὸς παντὸς νομοθέτου ἐστὶν ἀγαθοὺς ποιεῖν τοὺς ἀνθρώπους", ἢ ἁπλῶς, εἰ ὁ τοῦ νομοθέτου σκοπὸς φέρεται εἰς τὸ ἀληθῶς ἀγαθὸν ἁπλῶς· ἢ κατά τι, εἰ ἐπὶ τὸ χρήσιμον φέρεται, ἢ τὸ ἡδύ, ἢ τὸ ἐναντιούμενον τῇ θείᾳ δικαιοσύνῃ· οὕτω δὲ τὸ ἀγαθὸν εὑρίσκεται καὶ ἐν τοῖς καθαυτὸ κακοῖς, ὡς ἀγαθὸς λῃστὴς λέγεται, ὅτι πρὸς τὸ τέλος εὐφυῶς ἐνεργεῖ.

Ἰστέον ὅτι, ἐπεὶ ἕκαστος τῶν ἀνθρώπων μέρος ἐστὶ τῆς πόλεως, ἀδύνατον εἶναί τινα ἄνθρωπον ἀγαθὸν μὴ προσηκόντως ἀναλογοῦντα τῷ κοινῷ ἀγαθῷ· ἀλλὰ καὶ τὸ ὅλον ἀδύνατον καλῶς συνεστάναι μὴ ἐκ μερῶν ἑαυτῷ ἀναλόγων· ὅθεν ἀδύνατον τὸ κοινὸν τῆς πόλεως ἀγαθὸν καλῶς ἔχειν, μὴ ἐναρέτων ὄντων τῶν πολιτῶν, ἁπλῶς μὲν τῶν ἀρχόντων, τοὺς δὲ ἄλλους ἀρκεῖ ταῖς ἐντολαῖς τῶν ἀρχόντων οἵους ὑπείκειν εἶναι· καὶ διὰ τοῦτο ὁ Φιλόσοφος ἐν τοῖς πολιτικοῖς λέγει· „Ἡ αὐτὴ ἐστιν ἀρετὴ ἄρχοντος καὶ ἀγαθοῦ ἀνδρός, ἀλλ' οὐχ ἡ αὐτὴ τοῦ τυχόντος πολίτου καὶ ἀνδρὸς ἀγαθοῦ".

2. Δεύτερον, ὅτι ἐνέργειαι νόμου εἰσίν· ἐντέλλεσθαι, κωλύειν, συγχωρεῖν, τιμωρεῖσθαι.

## XCIII. — Περὶ τῶν καθέκαστα νόμων, καὶ πρῶτον περὶ τοῦ ἀϊδίου. f. 152

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἀΐδιος νόμος ἐστὶν ἡ ἐν τῷ θείῳ νῷ οὖσα αἰτία, ᾗ ἀεὶ δεῖ ὑπείκειν, Αὐγουστίνου ἐν τῷ περὶ αὐτεξουσίου οὕτω λέγοντος· καὶ ὁ λόγος οὗτος· ὡς γὰρ ἐν ἑκάστῳ τεχνίτῃ προϋφέστηκεν

8 Rom. 7, 23

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ λόγος τῶν γινομένων διὰ τῆς τέχνης, οὕτω καὶ ἐν παντὶ κυβερνήτῃ ἀνάγκη προϋφίστασθαι τὸν λόγον τῆς τάξεως τῶν πραχθησομένων ὑπὸ τῶν τῇ κυβερνήσει ἐκείνῃ ὑποκειμένων· καὶ ὥσπερ ὁ λόγος τῶν τεχνητῶν τέχνη καλεῖται ἢ παράδειγμα, οὕτω καὶ ὁ λόγος τοῦ κυβερνῶντος τὰς τῶν ὑποτεταγμένων ἐνεργείας νόμου λόγον ἐπέχει. Ὁ δὲ Θεὸς διὰ τῆς αὐτοῦ σοφίας δημιουργός ἐστι πασῶν τῶν φύσεων, πρὸς ἃς παραβάλλεται ὥσπερ τεχνίτης πρὸς τεχνητά, ὡς εἴρηται ἐν τῷ πρώτῳ· ἔστι γὰρ κυβερνήτης πασῶν ἐνεργειῶν καὶ κινήσεων τῶν ἐν ἑκάστῳ τῶν κτισμάτων εὑρισκομένων, ὡς εἴρηται ἐν τῷ πρώτῳ. Ὅθεν, ὥσπερ ὁ λόγος τῆς θείας σοφίας, καθόσον δι' αὐτῆς ἔκτισται πάντα, λόγον ἔχει τέχνης ἢ παραδείγματος ἢ ἰδέας, οὕτω καὶ ὁ λόγος τῆς θείας σοφίας τῆς κινούσης πάντα πρὸς τὸ ὀφειλόμενον τέλος λόγον ἔχει νόμου, καὶ κατὰ τοῦτο ὁ ἀΐδιος νόμος οὐδέν ἐστιν ἕτερον ἢ ὁ λόγος τῆς θείας σοφίας, καθό ἐστιν ἡγεμονικὴ πασῶν τῶν ἐνεργειῶν καὶ τῶν κινήσεων. Εἰ δὲ καὶ ἐν τῷ θείῳ νῷ πλείους εἰσὶν αἱ τῶν ὄντων αἰτίαι κατὰ Αὐγουστῖνον, ἀλλὰ καθόσον τάττονται πρὸς ἕν τι κοινόν, ὡς ἓν θεωροῦνται, καὶ διὰ τοῦτο ὁ ἀΐδιος νόμος εἷς ἐστιν, ὅς ἐστιν ὁ λόγος τῆς τάξεως.

Ἔτι, ὁ μὲν τοῦ Θεοῦ Υἱὸς προσωπικῶς λέγεται Λόγος ὡς σύλληψίς τις τοῦ πατρικοῦ νοῦ· ὁ δὲ ἀΐδιος νόμος, ὅς ἐστι λόγος τῆς τάξεως τῶν ἐκεῖ κυβερνωμένων, οὐσιωδῶς ἐστιν ἐν τῷ Θεῷ, διὰ τοῦ θείου ἐκφαινόμενος Λόγου. Πάντα γὰρ τὰ ἐν τῇ τοῦ Πατρὸς ἐπιστήμῃ, κατὰ τὸν Αὐγουστῖνον, εἴτε οὐσιώδη, εἴτε προσωπικά, εἴτε καὶ τοῦ Θεοῦ ἔργα, τῷ λόγῳ τούτῳ ἐκφαίνονται· ἀποδίδονται δὲ ἰδιαζόντως τῷ Υἱῷ διὰ τὴν τοῦ Λόγου τοῦ ὡς αἰτίας συγγένειαν πρὸς τὸν τοῦ νοῦ λόγον.

f. 152v 2. Δεύτερον, ὅτι ὁ ἀΐδιος νόμος | πᾶσίν ἐστι γνώριμος, Αὐγουστίνου λέγοντος ἐν τῷ περὶ αὐτεξουσίου, ὅτι ἡ τοῦ αἰωνίου νόμου γνῶσις ἡμῖν ἔγκειται. Γινώσκεται δὲ οὐ καθό ἐστιν ἐν ἑαυτῷ· οὕτω γὰρ οἱ τὸν Θεὸν κατ' οὐσίαν ὁρῶντες ἢ οἱ μακάριοι καὶ τοῦτον γινώσκουσιν· ἀλλ' ὥσπερ ἀπό τινων ἀκτίνων αὐτοῦ ἢ μειζόνων, ἢ ἐλαττόνων· πᾶσα γὰρ ἀληθείας γνῶσις ἔλλαμψίς τις ἐστὶ καὶ μετοχὴ τοῦ αἰωνίου νόμου, ὅς ἐστιν ἡ ἀμετάβλητος ἀλήθεια· πάντες δὲ τὴν ἀλήθειαν ἀμηγέπη γινώσκουσιν, τοὐλάχιστον ὅσον κατὰ τὰς ἀρχὰς τὰς κοινὰς τοῦ φυσικοῦ νόμου· ἐν δὲ τοῖς ἄλλοις οἳ μὲν πλέον, οἳ δὲ ἔλαττον μετέχουσι τῆς τοῦ ἀληθοῦς γνώσεως, ὥστε καὶ τὸν αἰώνιον νόμον πλέον ἢ ἔλαττον γινώσκουσιν.

3. Τρίτον, ὅτι πᾶς νόμος ἐκ τοῦ αἰωνίου νόμου ἤρτηται ἢ ὥρμηται· ἐν γὰρ ταῖς Παροιμίαις φησὶν ἡ θεία σοφία· „Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι καὶ οἱ νομοθέται δίκαια ἀποφαίνονται“· ὁ δὲ λόγος τῆς θείας σοφίας ὁ αἰώνιός ἐστι νόμος.

---

36 Prov. 8, 15

Ε.Υ.Δ της Π.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

4. Τέταρτον, ὅτι τὰ ἀναγκαῖα οὐχ ὑπόκεινται τῷ θείῳ νόμῳ· ἐπεὶ γὰρ ἀδύνατον ἄλλως ἔχειν αὐτά, ἐποχῆς νομίμου οὐ δέονται.

5. Πέμπτον, ὅτι τὰ φυσικὰ ἐνδεχόμενα ὑπόκεινται τῷ αἰωνίῳ νόμῳ· λέγεται γὰρ ἐν πρώτῳ τῶν Παροιμιῶν· „Ὅτε περιετίθει τῇ θαλάσσῃ ὅρον, καὶ νόμον ἐδίδου τοῖς ὕδασιν ὥστε μὴ ὑπερβῆναι τὰ ὅρια αὐτῶν".

6. Ἕκτον, ὅτι πάντα τὰ ἀνθρώπεια πράγματα τῷ αἰωνίῳ ὑποτάττονται νόμῳ. Εἰ γὰρ ὁ Ἀπόστολος ἐν ὀγδόῳ τῆς πρὸς Ῥωμαίους λέγει, ὅτι „τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν ἐστι· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται", πολλοὶ δὲ ἄνθρωποι εἰσίν, ἐν οἷς τὸ τῆς σαρκὸς ἄρχει φρόνημα, ἀλλ' εἰδέναι δεῖ, ὅτι τὸ φρόνημα τῆς σαρκὸς οὐχ ὑποτάσσεται τῷ θείῳ νόμῳ κατὰ τὰς ἐνεργείας διὰ τὸ κινεῖν ἐπὶ ἔργα ἐναντία τῷ τοῦ Θεοῦ νόμῳ· ὑποτάττεται μέντοι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸ πάθος, ὅτι ἄξιος γίνεται πάσχειν κολάσεις κατὰ τὸν νόμον τῆς θείας δικαιοσύνης. Οὐδὲν μέντοι ἧττον ἐν οὐδενὶ οὕτω κρατεῖ τὸ φρόνημα τῆς σαρκὸς ὥσθ' ὅλως φθαρῆναι τὸ τῆς φύσεως ἀγαθόν· μένει γὰρ ἡ πρὸς τὸ πράττειν τὰ τοῦ θείου νόμου ῥοπή· οὐ γὰρ ὅλον ἡ ἁμαρτία τὸ τῆς φύσεως ἀγαθὸν ἀναιρεῖ, ὡς προείρηται.

## XCIV. — Περὶ τοῦ φυσικοῦ νόμου. f. 153

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ὁ φυσικὸς νόμος οὐκ ἔστιν ἕξις· ἕξις γάρ ἐστιν ᾧ τι γίνεται, ὅταν ᾖ χρεία, ὥς φησιν Αὐγουστῖνος· ὁ δὲ φυσικὸς νόμος οὐκ ἔστι τοιοῦτον· ἔστι γὰρ ἐν τοῖς νηπίοις καὶ τοῖς κατακεκριμένοις, οἳ δι' αὐτοῦ οὐχ οἷοί τέ εἰσιν ἐνεργεῖν· οὐ πᾶν τε ἐν τῇ ψυχῇ ὂν ἢ ἕξις ἐστίν, ἢ πάθος, ἢ δύναμις, ὡς ἄν τις ἐκ τοῦ ἐναντίου ἐπιχειρήσειεν, ἀλλὰ παρὰ ταῦτα καὶ ἕτερά τινα ὥσπερ ἐντελέχειαί τινες, οἷον τὸ θέλειν ἐν τῇ θελήσει, καὶ τὰ γνωστὰ ἐν τῷ γινώσκοντι, καὶ αἱ φυσικαὶ τῆς ψυχῆς ἰδιότητες ἔνεισι ταύτῃ, ὡς ἡ ἀθανασία καὶ τὰ τοιαῦτα.

2. Δεύτερον, ὅτι ὁ φυσικὸς νόμος πλείους ἐντολὰς περιέχει· οὕτω γὰρ ἔχουσιν αἱ ἐντολαὶ τοῦ φυσικοῦ νόμου ἐν τῷ ἀνθρώπῳ πρὸς τὰ πρακτὰ ὡς αἱ πρῶται ἀρχαὶ ἐν τοῖς ἀποδεικτοῖς· ἀλλ' ἐκεῖναι πλείους εἰσίν· καὶ αὗται ἄρα.

3. Τρίτον, ὅτι πᾶσαι αἱ τῶν ἀρετῶν ἐνέργειαι τοῦ φυσικοῦ νόμου εἰσίν· φησὶ γὰρ ὁ Δαμασκηνός, ὅτι αἱ ἀρεταὶ φυσικαὶ εἰσίν· αἱ ἐνάρετοι ἄρα ἐνέργειαι ὑπόκεινται τῷ φυσικῷ νόμῳ.

4. Τέταρτον, ὅτι ὁ τῆς φύσεως νόμος εἷς ἐστι παρὰ πᾶσιν ἀνθρώποις· τὸ γὰρ φύσει δίκαιον κοινόν ἐστι πᾶσι τοῖς γένεσιν.

5. Πέμπτον, ὅτι ὁ τῆς φύσεως νόμος οὐ δύναται μεταβάλλεσθαι. Εἰ δὲ ὁ γραπτὸς νόμος πρὸς ἐπανόρθωσιν δεδόσθαι τοῦ φυσικοῦ νόμου

---

4 Prov. 8, 29 7 Rom. 8, 7

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λέγεται, ἢ ὡς ἀναπληρῶν ἐν ᾧ ὁ φυσικὸς ὑστερεῖ, ἢ ὡς διορθούμενος τὴν ἐν καρδίαις τινῶν κατά τινα φθορὰν αὐτοῦ, οἳ ἐνόμιζόν τινα ἀγαθὰ εἶναι φύσει ὄντα κακά. Ὥσπερ δὲ ἐν τοῖς φυσικοῖς τὸ παρὰ τοῦ Θεοῦ γινόμενον φυσικόν ἐστι τρόπον τινά, οὕτω καὶ ἐν τοῖς ἀνθρωπίνοις ἔργοις τὸ παρὰ τοῦ Θεοῦ προστάττόμενον ἅπαν δίκαιόν ἐστιν, ὥσπερ τὸ προσταγῆναι τὸν Ἀβραὰμ θῦσαι τὸν ἀθῷον Ἰσαάκ, καὶ τοὺς Ἰουδαίους αὖ προσταγῆναι ὑφελέσθαι ἃ ἐδανείσαντο σκεύη τῶν Αἰγυπτίων, καὶ τὸν Ὠσηὲ προσταχθῆναι γυναῖκα πόρνην λαβεῖν. Εἴ τις ἐκ τούτου εἰς τὸ δοκεῖν μεταβάλλεσθαι τὸν φυσικὸν νόμον ἐπιχειρήσειεν, ὅ τε γὰρ θάνατος
f. 153v | τῷ Θεῷ ὑπόκειται διὰ τὸ προγονικὸν ἁμάρτημα, ὡς ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν· „Κύριος θανατοῖ καὶ ζωογονεῖ“· καὶ ἡ ἑτέρῳ καταλογισθεῖσα κατὰ τὸν θεόθεν δεδομένον νόμον δύναται ἄλλῳ δοθῆναι, αὐτοῦ κελεύοντος· καὶ ὁ διὰ τὸ προστάξαι τὸν τοῦ παντὸς δεσπότην λαβὼν τὸ ἀλλότριον οὐκ ἔστι κλέπτης. Διὰ ταῦτα τοίνυν οὐ μεταβάλλεται ὁ φυσικὸς νόμος.

## XCV. — Περὶ τοῦ ἀνθρωπίνου νόμου καθαυτόν.

1. Περὶ τοῦτο δείκνυται πρῶτον, ὅτι χρήσιμον ἦν νόμους τινὰς ὑπ' ἀνθρώπων τεθῆναι διά γε τοὺς κακῶς διακειμένους, οἳ οὐκ ἂν ἄχθειεν εἰς ἀρετὴν διὰ παραινέσεως, ὡς οἱ εὖ διακείμενοι, ἀλλ' ἀναγκασθέντες μόνον. Οὐ μόνον δὲ ἐν τοῖς πονηροῖς χαλινοῦται τῷ φόβῳ τῆς τιμωρίας ἡ τοῦ βλάπτειν δύναμις, ἀλλὰ καὶ ἐν τοῖς ἀγαθοῖς ἀσφαλεστέρα ἡ ἀρετὴ γίνεται.

2. Δεύτερον, ὅτι πᾶς νόμος ἀνθρώπινος ἐκ τοῦ φυσικοῦ προελήλυθεν. Φησὶ γὰρ ὁ Τούλλιος ἐν τῇ Ῥητορικῇ· „Ἡ εὐσέβεια καὶ ὁ τῶν νόμων φόβος τὰ παρὰ τῆς φύσεως τέλεια καὶ τῇ συνηθείᾳ δεδοκιμασμένα ἐθέσπισεν“.

3. Τρίτον, ὅτι κατὰ τὸν Ἰσίδωρον ἡ ποιότης τοῦ νόμου τοῦ τεθησομένου οὕτω διαγράφεται· „Ἔσται, φησίν, ὁ νόμος σεμνός, δίκαιος, δυνατός, κατὰ φύσιν, κατὰ τὸ ἔθος τῆς πατρίδος, τῷ τόπῳ καὶ τῷ χρόνῳ συμβαίνων, ἀναγκαῖος, χρήσιμος, δῆλος, περιέχων, οὐχ ὑπὲρ ἰδίου τινὸς ἀγαθοῦ, ἀλλ' ὑπὲρ τῆς κοινῆς ἁπάντων ὠφελείας συγγεγραμμένος“. Ἄλλοθι δέ φησιν ὁ αὐτός· „Ὁ νόμος ἔσται πᾶν τὸ βοηθοῦν τῷ λόγῳ, οἷον τὸ τῇ θεοσεβείᾳ συμβαῖνον, τὸ τῇ παιδείᾳ οἰκεῖον, τὸ τῇ σωτηρίᾳ συντελοῦν“.

## XCVI. — Περὶ τῆς δυνάμεως τοῦ ἀνθρωπίνου νόμου.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι τὸν ἀνθρώπινον νόμον ἐν τῷ κοινῷ δεῖ τίθεσθαι· τὰ γὰρ δίκαια τίθεσθαι δεῖ ἐν τοῖς ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνουσιν· ἐν δὲ τοῖς ἐφ' ἑνὸς συμπτώματος ἴσως συμβαίνειν δυνάμενα

---

11 I Reg. 2, 6

οὐ τίθενται δίκαια· τὰ δὲ κοινὰ νόμιμα | ἢ οἱ κοινοὶ νόμοι εἰσίν, ἢ οἱ πῇ μὲν κοινοί, πῇ δὲ ἴδιοι, ἢ τὰ ψηφίσματα. f. 154

2. Δεύτερον, ὅτι ὁ ἀνθρώπινος νόμος συγχωρεῖ τινα πάθη τῷ μὴ κωλύειν αὐτά.

3. Τρίτον, ὅτι οὐδὲ πάσας τὰς ἀρετὰς ἐντέλλεται.

4. Τέταρτον, ὅτι ἀνάγκην ἐπιτίθησι τῇ συνειδήσει. Λέγεται γὰρ ἐν τῷ πρώτῳ τῆς Πέτρου δευτέρας· „Τοῦτό ἐστι χάρις, εἰ διὰ συνείδησίν τις ὑπομένει λύπας, πάσχων ἀδίκως“. Εἰ μὲν γὰρ δίκαιοί εἰσιν, ἔχουσι δύναμιν ἀναγκάζειν παρὰ τοῦ αἰωνίου νόμου· εἰ δὲ ἄδικοί εἰσιν, τοῦτο συμβαίνει διχῶς· ἢ τῇ πρὸς τὸ ἀνθρώπινον ἀγαθὸν ἐναντιότητι· ἢ ἐκ τοῦ τέλους, ὅταν τίθωνται ὑπό τινος ἡγεμόνος οὐ πρὸς τὸ κοινὸν ἀλλὰ πρὸς τὸ ἴδιον αὐτοῦ ἀγαθόν· ἢ ἐξ αὐτοῦ τοῦ τιθέντος, ὅταν ὑπὲρ τὴν δεδομένην τῷ νομοθέτῃ ἐξουσίαν ᾖ· ἢ ἐκ τοῦ εἴδους, ὡς ἐπὶ τῶν εἰσφορῶν, ὅταν μὴ ἀναλόγως ἐπάγωνται τοῖς ὑποτεταγμένοις τῇ πρὸς τὸ κοινὸν ἀγαθὸν τάξει· ταῦτα γὰρ μᾶλλόν εἰσι βία ἢ νόμοι, καὶ οὗτοι οὐκ ἐνέχεσθαι ποιοῦσι τὴν συνείδησιν, εἰ μήπου διὰ τὸ ἐκφυγεῖν σκάνδαλον, ἢ θόρυβον, δι' ἃ δεῖ τὸν ἄνθρωπον τῶν οἰκείων δικαίων ὑφίεσθαι, κατὰ τὸ πέμπτον τοῦ κατὰ Ματθαῖον· „Τῷ ἀγγαρεύοντί σε μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο, καὶ τῷ τὸν χιτῶνα ἀφαιρουμένῳ δὸς αὐτῷ καὶ τὸ ἱμάτιον“· ἢ ἄδικοί εἰσι τῇ πρὸς τὸ θεῖον ἀγαθὸν ἐναντιότητι, ὥσπερ οἱ τῶν τυράννων νόμοι εἰς εἰδωλολατρείαν ἐνάγοντες, ἢ ἄλλο τι ἐναντίον τῷ θείῳ νόμῳ· τούτους δὲ οὐδένα τρόπον ἔξεστι φυλάττειν, ὡς ἐν τετάρτῳ τῶν Πράξεων· „Πειθαρχεῖν Θεῷ μᾶλλον ἢ ἀνθρώποις.

5. Πέμπτον, ὅτι πάντες ὑποτάττονται νόμῳ ὡς ἐν τρισκαιδεκάτῳ τῆς πρὸς Ῥωμαίους· „Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω“. Οὐ δοκεῖ δὲ τῇ ἐξουσίᾳ ὑποτετάχθαι ὁ μὴ τῷ αὐτῆς νόμῳ ὑποταττόμενος. Τὸ δὲ ἐν τῇ πρὸς Τιμόθεον· „Δικαίῳ νόμος οὐ κεῖται“, περὶ τῆς κατ' ἀνάγκην ὑποταγῆς εἴρηται· οὕτω γὰρ τῷ δικαίῳ οὐ κεῖται νόμος· ἐκεῖνοι γὰρ ἑαυτοῖς εἰσι νόμοι, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, | ὡς ἐν δευτέρῳ τῆς πρὸς Ῥωμαίους εἴρηται. Ὅθεν f. 154v οὐκ ἔχει δύναμιν ἀναγκαστικὴν ὁ νόμος ἐν τούτοις, ὥσπερ ἐν τοῖς ἀδίκοις.

Εἰ δὲ καὶ ὁ νόμος ὑψηλότερός ἐστι τοῦ ἀνθρωπίνου, ὁ τοῦ Πνεύματος, καὶ διὰ τοῦτο ὅσον κατὰ τὰ ἀντικείμενα τῇ τοῦ Πνεύματος ὁδηγίᾳ οὐχ ὑπόκεινται νόμῳ ἀνθρωπίνῳ οἱ πνευματικοὶ ἄνδρες, ἀλλ' ὅμως αὐτὸ τοῦτο δοκεῖ τῷ ὁδηγοῦντι ἁγίῳ Πνεύματι, τὸ τοὺς κοινοὺς ἄνδρας ὑποτάττεσθαι τοῖς νόμοις κατὰ τὸ πρῶτον τῆς Πέτρου δευτέρας· „Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον“.

---

7 I Pet. 2, 19 (non II Pet. 1) 18 Matth. 5, 41 25 Rom. 13, 1 27 I Tim. 1, 9
36 I Pet. 2, 13 (non II Pet. 1)



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6. Ἕκτον, ὅτι δεῖ τοὺς ὑποτεταγμένους τῷ νόμῳ παρὰ τὰ ῥητὰ τοῦ νόμου δύνασθαι ποιεῖν τι, ἐφόσον τὸν νοῦν τῶν ῥητῶν ἐκ τούτων ὑποθέσεων δεῖ λαμβάνειν, κατὰ τὸν Ἱλάριον, αἳ κινοῦσι τὸν νομοθέτην· τῷ γὰρ πράγματι τὸν λόγον ὑποτετάχθαι προσήκει, οὐ τ' ἀνάπαλιν. Ὁ δὲ ἐν ἀνάγκῃ παρὰ τὰ ῥητὰ τοῦ νόμου ποιῶν οὐ κρίνει περὶ αὐτοῦ τοῦ νόμου ἀλλὰ κρίνει περὶ τοῦ μερικοῦ συμπτώματος, ἐν ᾧ δοκεῖ τὰ τοῦ νόμου ῥητὰ μὴ δεῖν τηρεῖσθαι.

## XCVII. — Περὶ τῆς τῶν νόμων μεταβολῆς.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ὁ ἀνθρώπινος νόμος εἰ καὶ δίκαιος εἴη, δύναται πρὸς τοὺς καιροὺς μεταβάλλεσθαι".

2. Δεύτερον, ὅτι οὐκ ἀεὶ τὸν ἀνθρώπινον νόμον ὑπὲρ τοῦ βελτίονος δεῖ μεταβάλλεσθαι· ἐν γὰρ τοῖς δεκρέτοις, ἐν τῇ δωδεκάτῃ διακρίσει· „Γελοῖον, μᾶλλον δὲ βδελυκτὸν αἶσχος λίαν τὰς παραδόσεις, ἃς ἄνωθεν παρὰ τῶν πατέρων ἐδεξάμεθα, ἀνέχεσθαι ἀνατρέπεσθαι.

3. Τρίτον, ὅτι τὸ ἔθος δύναμιν ἔχει νόμου. Φησὶ γὰρ Αὐγουστῖνος ἐν τῇ πρὸς Κασουλάνον ἐπιστολῇ· „Τὸ ἔθος τοῦ λαοῦ τοῦ Θεοῦ καὶ τὰ τῶν μειζόνων θεσπίσματα ἀντὶ νόμου κρατεῖν δεῖ, καὶ ὥσπερ τοὺς παραβάτας τῶν θείων νόμων, οὕτω καὶ τοὺς καταφρονητὰς τῶν ἐκκλησιαστικῶν ἐθῶν κολαστέον ἂν εἴη".

4. Τέταρτον, ὅτι οἱ τοῦ πλήθους ἄρχοντες δύνανται ἐν τοῖς ἀνθρωπίνοις νόμοις οἰκονομίᾳ κεχρῆσθαι. Φησὶ γὰρ ὁ Ἀπόστολος ἐν ἐννάτῳ τῆς πρὸς Κορινθίους πρώτης· „Οἰκονομίαν πεπίστευμαι". Δεῖ μέντοι γε οὕτω πρός τινα οἰκονομίαν γίνεσθαι, ὥστε μὴ τηρεῖν τὸν κοινὸν νόμον, οὐχ ὡς γενέσθαι πρόκριμα τῇ κοινῇ ὠφελείᾳ, ἀλλὰ τούτῳ τῷ λογισμῷ
f. 155 ὡς μᾶλλον συνοίσοντι | πρὸς τὸ κοινὸν ἀγαθόν.

## XCVIII. — Περὶ τοῦ παλαιοῦ νόμου καθ' αὑτόν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ὁ παλαιὸς νόμος ἀγαθός ἐστιν. Ἐν γὰρ ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους· „Ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ δικαία καὶ ἁγία καὶ ἀγαθή"· σύμφωνος γὰρ ἦν τῷ ὀρθῷ λόγῳ, ἐπέχων τὴν ἐπιθυμίαν τὴν ἐναντιουμένην τῷ λόγῳ· „Οὐκ ἐπιθυμήσεις γάρ, φησί, πρᾶγμα τοῦ πλησίον σου", καὶ πάντα κωλύων τὰ τῷ λόγῳ ἐναντιούμενα ἁμαρτήματα· διὸ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ὁ Παῦλος φησί· „Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον"· καὶ πάλιν· „Σύμφημι τῷ νόμῳ, ὅτι ἐστὶν ἀγαθός". Τοῦ μέντοι γε ἀγαθοῦ τοῦ μὲν τελείου ὄντος, τοῦ δὲ ἀτελοῦς, ὥσπερ φαρμάκου· τοῦ μὲν τελείως ἀγαθοῦ ὄντος ὡς τὸν

---

23 I Cor. 9, 17 — 26 *ὡς μᾶλλον συνοίσοντι* répété dans A — 32 Exod. 20, 17
34 Rom. 7, 22

Ε.Υ.Ζ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἄνθρωπον ὑγιάζοντος, τοῦ δὲ ἀτελῶς ὡς βοηθοῦντος μέν, ὑγιάζειν δὲ οὐ δυναμένου, οὕτω καὶ νόμος ἀγαθὸς κατὰ τὸν πρῶτον βαθμὸν ὁ ἀνθρώπινός ἐστιν, οὗ τέλος ἐστὶν ἡ πρόσκαιρος εἰρήνη τῆς πόλεως, δι' αὐτοῦ τῶν κωλυμάτων τῆς εἰρηνικῆς καταστάσεως κωλυομένων· κατὰ δὲ τὸν δεύτερον βαθμόν ἐστιν ὁ παλαιὸς τοῦ Θεοῦ νόμος, ἄγων μὲν πρὸς ὑψηλότερον τέλος, τὸ τῆς αἰωνίου εὐδαιμονίας, αὐτὸς θεῖος ὤν, οὐ μέντοι γε ἀρκῶν ἑαυτῷ· οὐ γὰρ ἀρκεῖ τὸ τὰ ἁμαρτήματα κωλύειν, τιμωρίας ἐπιτιθεμένης, καὶ τὰς ἔξω τοῦ ἀνθρώπου ἐνεργείας κατορθοῦν πρὸς τὸ ποιῆσαι τὸν ἄνθρωπον τῆς αἰωνίου τυχεῖν μακαριότητος, ἀλλ' ἀνάγκη τὸν ἄνθρωπον δι' ὅλου ἐπιτήδειον γίνεσθαι πρὸς μετοχὴν τῆς αἰωνίου μακαριότητος καὶ τῶν ἔνδον ἐνεργειῶν ῥυθμιζομένων τῇ πρὸς τὸ τέλος ἐκεῖνο τάξει· τοῦτο δὲ ἀδύνατον γενέσθαι ἄνευ τῆς τοῦ ἁγίου Πνεύματος χάριτος, δι' οὗ ἐκκέχυται ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν, ἥτις τὸν νόμον πληροῖ· „Ἡ γὰρ χάρις τοῦ Θεοῦ ζωὴ αἰωνία", ὡς λέγεται ἐν ἕκτῳ τῆς πρὸς Ῥωμαίους. Ταύτην δὲ τὴν χάριν ὁ παλαιὸς νόμος συνεισενεγκεῖν οὐ δεδύνηται· ἐτηρεῖτο γὰρ τοῦτο τῷ Χριστῷ, ὡς λέγεται ἐν πρώτῳ τοῦ κατὰ Ἰωάννην· „Ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο". Οὐκοῦν ἀγαθὸς μὲν ὁ παλαιὸς νόμος, ἀλλ' ἀτελής, ὡς ἐν ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους λέγεται· „Εἰς οὐδὲν τέλειον ὁ νόμος ἤγαγεν". | Εἴρηται f. 155ᵛ
μέντοι τῷ Ἀποστόλῳ ἀποκτείνειν ὁ νόμος οὐ ποιητικῶς, ἀλλ' ὡς κατὰ πρόφασιν διὰ τὸ αὐτοῦ ἐνδεές, καθόσον δηλονότι χάριν οὐκ εἰσῆγε, δι' ἧς οἱ ἄνθρωποι ἠδυνήθησαν ἂν πληρῶσαι τὸ ἐντεταλμένον, ἢ φυλάξασθαι τὸ κεκωλυμένον, καὶ οὕτως ἡ πρόφασις ἐκείνη οὐκ ἐδίδοτο, ἀλλ' ἐλαμβάνετο περὶ τῶν ἀνθρώπων. Ὅθεν καὶ ὁ Ἀπόστολος αὐτόθι φησίν· „Προφάσεως δὲ λαμβανομένη ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς, ἠπάτησέ με καὶ δι' ἐκείνης ἀπέκτεινε", καὶ διὰ ταύτην τὴν αἰτίαν λέγεται, ὅτι „ὁ νόμος εἰσῆλθεν ὅπως περισσεύσῃ τὸ παράπτωμα", ἵνα τό ὅπως νοῆται ἐπακολουθηκῶς, ἀλλ' οὐχ ὡς αἰτία, καθόσον δηλονότι οἱ ἄνθρωποι, λαβόμενοι ἀφορμῆς τοῦ νόμου περισσότερον ἡμάρτανον, τοῦτο μὲν διὰ τὸ βαρύτερον γενέσθαι τὸ ἁμάρτημα μετὰ τὸ ἀπαγορεῦσαι τὸν νόμον, τοῦτο δὲ καὶ διὰ τὸ τὴν ἐπιθυμίαν αὐξῆσαι· μᾶλλον γὰρ ἐπιθυμοῦμεν οὗ κωλυόμεθα.

2. Δεύτερον, ὅτι ὁ παλαιὸς νόμος παρὰ Θεοῦ ἐστιν. Φησὶ γὰρ ὁ Κύριος ἡμῶν ἐν τῷ κατὰ Ματθαῖον· „Ἠκυρώσατε τὸν νόμον τοῦ Θεοῦ διὰ τὰς παραδόσεις ὑμῶν". Εἰ δὲ λέγεται ἐν τριακοστῷ δευτέρῳ τοῦ Δευτερονομίου· „Θεός, τέλεια τὰ ἔργα αὐτοῦ ἐστιν", ὁ δὲ παλαιὸς νόμος ἀτελής, ἀλλ' οὐδὲν κωλύει τι μὴ εἶναι τέλειον ἁπλῶς, τέλειον δὲ κατὰ τὸν πρέποντα χρόνον, ὥσπερ παῖδα τέλειον λέγομεν, καὶ τέλεια μαθήματα τὰ τοῖς παισὶ διδόμενα οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸν χρόνον καὶ τὴν ἕξιν

---

14 Rom. 6, 23 17 Ioh. 1, 17 25 Rom. 7, 11 26 Rom. 5, 20 33 Matth. 15, 16



ΙΩΑΝΝΙΝΑ 2006

αὐτῶν· διὸ καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Γαλάτας φησίν· „Ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν".

3. Τρίτον, ὅτι ὁ παλαιὸς νόμος δι' ἀγγέλων δέδοται, οὐκ ἀμέσως παρὰ Θεοῦ, τοῦ Ἀποστόλου λέγοντος ἐν τρίτῳ τῆς πρὸς Γαλάτας· „Ὁ νόμος δίδοται δι' ἀγγέλων ἐν χειρὶ μεσίτου"· καὶ ἐν τῷ ἑβδόμῳ τῶν Πράξεων φησὶν ὁ Στέφανος· „Ἐλάβετε νόμον ἐν διαταγῇ ἀγγέλων". Τὸ δὲ ἐν τῇ Ἐξόδῳ· „Ἐλάλησε Κύριος τοὺς λόγους τούτους", ὅπου ἐπάγεται εὐθύς· „Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου", οὕτω δεῖ νοεῖσθαι, ὅτι ἐκ προσώπου τοῦ Κυρίου ὁ ἄγγελος ἐλάλει, ὥστε καὶ ἄγγελος καὶ Κύριος λέγεται ὁ λαλῶν, τὸ μὲν δι' ἃ ἔξωθεν λέγων διηκόνει, τὸ δὲ διὰ τὸν
f. 156 ἔνδον καθήμενον | καὶ τὸ δραστήριον χορηγοῦντα τοῖς λόγοις.

4. Τέταρτον, ὅτι ὁ παλαιὸς νόμος δεόντως δέδοται μόνῳ τῶν Ἰουδαίων τῷ λαῷ. Εἰ γὰρ καὶ ἡ μέλλουσα σωτηρία διὰ Χριστοῦ πᾶσι τοῖς ἔθνεσι προητοίμαστο, ὅμως ἔδει τὸν Χριστὸν ἐξ ἑνὸς λαοῦ γεννηθῆναι, ὃς διὰ τοῦτο ὑπὲρ τοὺς ἄλλους ἰδίας ἔσχε τιμάς, κατὰ τὸ ἔννατον τῆς πρὸς Ῥωμαίους· „Ὧν (δηλονότι τῶν Ἰουδαίων) ἡ υἱοθεσία καὶ ἡ διαθήκη καὶ ἡ νομοθεσία, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα".

5. Πέμπτον, ὅτι οὐ πάντες ἄνθρωποι ἐνέχονται φυλάττειν τὸν παλαιὸν νόμον· δυνατὸν γὰρ καὶ ἄνευ τῆς τοῦ νόμου τηρήσεως σῴζεσθαι.

6. Ἕκτον, ὅτι οἰκειότατα ἐδόθη τῷ τοῦ Μωσέως καιρῷ. Ὁ γὰρ νόμος δυσὶν ἀνθρώπων γένεσι τίθεται· ἢ τισι σκληροῖς καὶ ὑπερηφάνοις διὰ τοῦ νόμου κωλυομένοις καὶ δαμαζομένοις· ἢ ἀγαθοῖς τοῖς διὰ νόμου διδασκομένοις καὶ βοηθουμένοις πρὸς τὸ πληροῦν ὃ σκοποῦσιν. Πρέπον οὖν ἦν τὸ δοθῆναι πρὸς τὸ νικῆσαι τὴν τῶν ἀνθρώπων ὑπερηφανίαν ἐπὶ δυσὶν οὖσαν πρὶν ἐν ἀνθρώπῳ· ἐπί τε σοφίᾳ, ὡς τοῦ φυσικοῦ λόγου ἀρκοῦντος πρὸς σωτηρίαν· καὶ ἐπὶ δυνάμει. Ἐπετράπη γοῦν πρῶτον ὁ ἄνθρωπος τῇ ἀρχῇ τοῦ ἰδίου λόγου ἐφ' ἱκανόν, καὶ τῇ πείρᾳ μαθεῖν δεδύνηται ὡς ἠσθένει ἐν τῷ λόγῳ, περὶ τοὺς τοῦ Ἀβραὰμ χρόνους μέχρις εἰδωλολατρείας καὶ τῶν αἰσχίστων παθῶν τῶν ἀνθρώπων ἐκκυλισθέντων. Εἶτα εὐλόγως ὁ γραπτὸς νόμος ἐδόθη εἰς θεραπείαν τῆς ἀγνοίας, ἐπεὶ διὰ τοῦ νόμου ἐστὶν ἡ τῆς ἁμαρτίας ἐπίγνωσις, ὡς ἐν πέμπτῳ τῆς πρὸς Ῥωμαίους. Εἶτα νενίκηται ἡ ἀνθρωπίνη ὑπερηφανία, διὰ τῆς ἀσθενείας μὴ δυναμένου πληροῦν ὃ ἐγίνωσκε, καὶ διὰ τοῦτο ἐν ὀγδόῳ τῆς πρὸς Ῥωμαίους λέγεται ὅτι „διὰ τὸ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ σαρκός, ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν". Τοῖς δὲ ἀγαθοῖς ὁ νόμος δέδοται εἰς βοήθειαν, ὃ δὴ τότε πρῶτον μάλιστα ἀναγκαῖον ἦν, ὅτε ὁ φυσικὸς νόμος ἐπισκοτεῖσθαι

---

1 Gal. 3, 25 4 Gal. 3, 19 6 Act. 8, 53 7 Exod. 30, 1 16 Rom. 9, 5 34 Rom. 8, 31